παρατέλευτον ὀνομάζεται. τὸ δὲ τέταρτον δίμετρον καταληκτικόν. ἐφ' ὃ παράγραφος. ὁ δὲ λόγος ἐκ τοῦ χοροῦ παρὰ τοῦ Ἀριστοφάνους τὸν λόγον ποιούμενος. Ἔπη λέξοντας.] ὅτι καὶ τὰ ἄλλα μέτρα ἔπη λέγονται. Παραβῆναι.] τῇ παραβάσει χρήσασθαι. λέγεται δὲ παράβασις, ἤτοι ἐπεὶ ἀπήρτηται τῆς ἄλλης ὑποθέσεως ἢ ἐπεὶ παραβαίνει ὁ χορὸς τὸν τόπον. BISETVS. ἑστᾶσι μὲν γὰρ A κατὰ στοιχεῖον οἱ πρὸς τὴν ὀρχήστραν προσβλέποντες. ὅταν δὲ παραβῶσιν ἐφεξῆς ἑστῶτες, καὶ πρὸς τοὺς θεατὰς ἀποβλέποντες, τὸν λόγον ποιοῦνται, εἶτα διελθόντες τὴν καλουμένην παράβασιν ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταὶ τὸ στρέφεσθαι, σημαίνοντες, καὶ τὸ παραβαίνειν. καὶ ταῦτα μὲν οὕτω κατὰ τὸν Σουίδαν ἐν τῷ χαρίεον.

Οὐκ ἂν φαύλως ἔτυχε τούτου. νῦν δ' ἄξιός ἐσθ' ὁ ποιητής. B
Ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ, τολμᾷ τε λέγειν τὰ δίκαια.
Καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ, καὶ τὴν ἐριώλην.
Ἃ δὲ θαυμάζειν ὑμῶν φησὶ πολλοὺς αὐτῷ προσιόντας,
Καὶ βασανίζειν, ὡς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτόν. C
Ἡμᾶς ὑμῖν ἐκέλευσε φράσαι περὶ τούτου. φησὶ γὰρ ἁνὴρ
Οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων
Κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων.
Πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν, ὀλίγοις χαρίσασθαι.
Ὑμᾶς τε πάλαι διαγινώσκων ἐπετείους τὴν φύσιν ὄντας. D
Καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας.
Τοῦτο μὲν εἰδὼς ἅπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις.
Ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια.
Πάσας δ' ὑμῖν φωνὰς ἱεὶς καὶ ψάλλων, καὶ πτερυγίζων,
Καὶ λυδίζων, καὶ ψηνίζων, καὶ βαπτόμενος βατραχείοις, E
Οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν, ἐπὶ γήρως (οὐ γὰρ ἐφ' ἥβης)
Ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη.

*Haud facilè impetrasset: nunc noster dignus amore Poëta est:*
*Quòd eosdem nobiscum odit: & audet, quæ sunt iusta, profari.*
*Et forti animo vento venit aduorsum, rapidæque procellæ:*
*Quia verò multos vestrûm se adeuntes, mirarier inquit,*
*Et quærere, cur non ipse chorum à se iamdudum exigat ipso:*
*De his nos voluit loquier vobis. Nam dicit Comicus iste*
*Quòd nulla è stultitia isthoc egerit antehac: sed quia veram*
*Artem tractandi Comica difficillimum iudicet esse:*
*(Nam cùm multi illam tentassent, paucis ea gratificata est,)*
*Et quia iamdudum norat vos esse homines vnius anni,*
*Veteresque poëtas à vobis cano cum vertice prodi.*
*Et quia sciebat, quid Magnes iam canis venientibus esset*
*Expertus: qui cùm de aliis poetis, arte chori superatis,*
*Statuisset multa tropæa, canendo vobis, gesticulando.*
*Lydos imitando, glabrando faciem atque dolore linendo:*
*Non sat fecit tamen, effœtúsque senex, (neque enim iuuenis vir)*
*Loco motus fuit: eò quòd scurrilibus abstinuisset.*

Σχόλια. Οὐκ ἂν φαύλως] οὐκ ἂν εὐχερῶς, οὐδὲ ἄνευ καμάτου καὶ πόνου. Ἄξιος ἐσθ' ὁ ποιητής.] λέγει F ὅτι ἄξιός ἐσθ' ὁ ποιητὴς καὶ τῆς παρὰ τῶν θεωμένων εὐνοίας. ὅτι τὴν πρὸς Κλέωνα ἔχθραν ἐπανείλετο, καὶ τοὺς αὐτοὺς ἐχθροὺς ἡγεῖται, οὓς ἡμεῖς οἱ Ἀθηναῖοι. Καὶ γενναίως πρὸς τὸν Τυφῶ.] ὁ Τυφὼς γῆς μέν ἐστιν υἱός. ἴσχυσε δὲ τοσοῦτον, ὡς μὴ ἀνθρώποις μόνοις δοκεῖν φοβερὸς εἶναι, ἀλλὰ καὶ τοῖς θεοῖς. καὶ εἰς ἀλόγων ζώων ἰδέας μετέβαλλον τὰς μορφὰς διὰ τὸν ἐκείνου φόβον. Τὴν ἐριώλην.] Τυφὼς, ἀνέμου συστροφὴ ἢ πυρός. τὸν G Κλέωνα δὲ λέγει. ἐριώλη δὲ ἀναθυμιάσεως συστροφὴ, πρὶν ἐμπυρωθῆναι τὸν ἀέρα. καὶ ἡ μεγάλη δὲ πνοὴ οὕτως. ἔμπαλιν δὲ εἰπὼν, ηὔξησεν ἂν μᾶλλον καὶ δεξιώτερον εἶπεν. ἡ γὰρ ἐριώλη, πνοὴ σφοδρά. ἀλλ' ὅγε Τυφὼς, μεῖζόν τι πνεῦμα καὶ κακοποιόν. ἔδει οὖν εἰπεῖν πρῶτον ἐριώλην, εἶτα Τυφῶ. καὶ εἶχεν ἂν μείζω τὴν ἔμφασιν. Διατρίβειν.] τὸ ὑπερτίθεσθαι καὶ μέλλειν αὐτούς. Πολλῶν γὰρ δὴ πειρασάντων.] μετελθόντων ἐπιτηδευσάντων. ἀπὸ τοῦ πειρᾶν ἐσχημάτισε. πειρᾶν δὲ, τὸ προσβαλεῖν τῇ γυναικὶ περὶ ἀφροδίτης. τροπῇ οὖν κέχρηται ὡς ἐπὶ γυναικός. διὸ καὶ τὸ, χαρίσασθαι ἐπήνεγκε. σημειῶσαι οὖν σπανίως ἐπιτυχεῖν τινὰς καὶ ὀλίγους κατορθῶσαι παντάπασιν. Ἐπετείους.] ἀντὶ τοῦ ἐκ πολλοῦ καταγινώσκων τὸν ἡμέτερον τρόπον. ἀπὸ τῶν οἰωνῶν δὲ μετήνεγκε τῶν μὴ μονίμων ὄντων, ἀλλὰ φερομένων τῇ πτήσει. τουτέστιν εὐμεταβλήτους ὀλιγώρους. μὴ διαμένοντας ἐν τοῖς αὐτοῖς. ἀλλ' ἀψικόρους.

BISETVS. Ἐπέτειον.] τὸ ἀπὸ νέου ἔτους. ἐπέτος γὰρ δὴ λέγειν τὸν ἐνεστῶτα καιρὸν, οὐχὶ διὰ τοῦ φ, ἀλλὰ διὰ τοῦ π. ὥς φησι Πίνδαρος. καὶ ἐπέτειος, ὁ κατ' ἔτος γινόμενος. Σουίδας ἐν τῇ τοῦδε τοῦ τόπου ἑρμηνείᾳ.

Σχόλια.